25 ΝΟΕΜΒΡΙΟΥ

Μνήμην ἐπιτελοῦμεν τῆς ἁγίας Μεγαλομάρτυρος τοῦ Χριστοῦ καὶ πανσόφου Αἰκατερίνης· καὶ τοῦ ἁγίου Μεγαλομάρτυρος Μερκουρίου.

Ἐν ταύτῃ τῇ ἡμέρᾳ ἀποδίδοται καὶ ἡ Ἑορτὴ τῶν Εἰσοδίων.

* * * * *


ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὸν Ἑξάψαλμον,

Συναπτὴ μεγάλη, μεθ' ἣν ἐκφώνησις·

Ὅτι πρέπει σοι πᾶσα δόξα...


Ἦχος Δι



Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Στίχ. β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.


Στίχ. γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καί ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.



Καὶ ψάλλονται τὰ Ἀπολυτίκια.


Τῆς Ἑορτῆς.

Εἰς τὰ Εἰσόδια τῆς Θεοτόκου, ἀπολυτίκιον, ἦχος Δι



Δόξα. Τῆς Ἁγίας Αἰκατερίνης.


Τὸν συνάναρχον Λόγον. Ἦχος




Καὶ νῦν.

Καὶ πάλιν τῆς Ἑορτῆς.

Ἦχος Δι





Συναπτὴ μικρά, μεθ' ἣν ἐκφώνησις·

Ὅτι σὸν τὸ κράτος...

* * *

ΚΑΘΙΣΜΑΤΑ

Μετὰ τὴν α΄ Στιχολογίαν,
Κάθισμα τῆς Ἁγίας.

Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Μολοῦσα εὐθαρσῶς, πρὸς ἀγῶνας τρισμάκαρ, ἀνδρείως τὸν Χριστόν, ὡμολόγησας Μάρτυς, καὶ τύραννον ἤλεγξας, δυσσεβῆ καὶ παράφρονα, καὶ κατῄσχυνας, ῥητορευόντων τὰ στίφη, καὶ ἀνέδραμες, εἰς οὐρανίους σκηνώσεις· διό σε δοξάζομεν.

Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς. Ὅμοιον.

Δικαίων ὁ καρπός, Ἰωακεὶμ καὶ τῆς Ἄννης, προσφέρεται Θεῷ, ἱερῷ ἐν ἁγίῳ, σαρκὶ νηπιάζουσα, ἡ τροφὸς τῆς ζωῆς ἡμῶν· ἣν ηὐλόγησεν, ὁ ἱερὸς Ζαχαρίας. Ταύτην ἅπαντες, ὡς τοῦ Κυρίου Μητέρα, πιστῶς μακαρίσωμεν.

Μετὰ τὴν β΄ Στιχολογίαν,
Κάθισμα τῆς Ἁγίας.

Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Ἡ παρθένος καὶ σεμνή, Αἰκατερίνα ἡ σοφή, τῇ δυνάμει τοῦ Χριστοῦ, ἐπιῤῥωσθεῖσα ἀληθῶς, ἀγαλλομένη εἰσέρχεται ἐν σταδίῳ· καὶ τύραννον ὠμόν, καταβαλοῦσα στερῥῶς, καὶ πᾶσαν τὴν πληθύν, τῶν δυσσεβούντων ἐχθρῶν, μετ' εὐφροσύνης ἔψαλλεν, ἀκαταπαύστως μεγάλῃ φωνῇ· Χριστέ μου δόξα, Σωτὴρ καὶ ῥύστα, σὺ οὖν δέξαι τὸ πνεῦμά μου.

Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς. Ὅμοιον.

Πρὸ συλλήψεως Ἁγνή, καθηγιάσθης τῷ Θεῷ, καὶ τεχθεῖσα ἐπὶ γῆς, δῶρον προσήχθης νῦν αὐτῷ, ἀποπληροῦσα πατρῴαν ἐπαγγελίαν. Τῷ θείῳ δὲ ναῷ, ὡς θεῖος ὄντως Ναός, ἐκ βρέφους καθαρῶς, μετὰ λαμπάδων φαιδρῶν, ἀποδοθεῖσα ὠφθης δοχεῖον, τοῦ ἀπροσίτου καὶ θείου Φωτός. Μεγάλη ὄντως, ἡ πρόοδός σου, μόνη Θεόνυμφε καὶ ἀειπάρθενε.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα τῆς Ἁγίας.

Ἦχος πλ. δ΄. Τὸ προσταχθὲν μυστικῶς.

Ἀλεξανδρέων ἡ λαμπρὰ καὶ θεία πόλις, ἐπὶ τῇ μνήμῃ σου σεμνὴ πανηγυρίζει, καὶ γεραίρει τοὺς ἄθλους σου Αἰκατερίνα, οὓς ἔτλης γενναιοφρόνως ὑπὲρ Χριστοῦ· καὶ μέγα βρενθυομένη σοὶ ἐκβοᾷ· Ὦ παρθένε πολύαθλε, εἰς οὐρανίους σκηνάς, συνοῦσα νῦν τῷ Κτίστῃ σου, χαῖρε Μάρτυς πανθαύμαστε.

Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς. Ὅμοιον.


Ἀγαλλιάσθω ὁ Δαυῒδ ὁ Ὑμνογράφος, καὶ χορευέτω Ἰωακεὶμ σὺν τῇ Ἄννῃ, ὅτι γόνος ἅγιος ἐξ αὐτῶν προῆλθε, Μαρία ἡ φωτοφόρος θεία λαμπάς· καὶ χαίρει εἰσερχομένη ἐν τῷ ναῷ· ἣν καὶ βλέπων εὐλόγησεν, ὁ Βαραχίου υἱός, καὶ χαίρων ἀνεκραύγαζε· Χαῖρε θαῦμα παγκόσμιον.


* * *


ΑΝΑΒΑΘΜΟΙ, ΠΡΟΚΕΙΜΕΝΟΝ

Οἱ Ἀναβαθμοί· τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου.

Ἦχος δ΄ Βου ξ






ι ι ϗ ϗ ως χο ο ο ο ο ορ το ο ο
ο ος γαρ πυ υ ρι ι ι ι ι ε ε σε ε ε
σθε ε ε ε ε α πε ξη ρα με ε ε νοι οι
Δ ο ξα Πα τρι και Υι ω ω και αι Α α γι
ι ω Πνε ευ μα α τι ι
Α γι ω Πνευ μα τι ι ι πα α α σα ψυ υ
χη ζω ω ου ου ου ται αι και κα α θα αρ σει
υ ψου ου ου ται αι λα α αμ πρυ υ νε ε ε ται
τη η Τρι ι α δι κη η μο ο να α α δι ι ι
ι ι Ι ε ε ρο κρυ υ φι ι ι ω ως
Κ αι νυν και α ει και εις τϗς αι ω νας των
αι ω ω νων α α μη ην
Α γι ω Πνευ μα α τι ι α να α βλυ υ υ
ζει τα α τη η ης χα α α α ρι το ος ρει
ει ει θρα α αρ δε ε ε ε ευ ο ο ο
ο ον τα α α α πα α σαν τη ην κτι ι ι σι ι





Προκείμενον.


Ἦχος Βου











ΤΑΞΙΣ ΕΩΘΙΝΟΥ ΕΥΑΓΓΕΛΙΟΥ

Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.


Κύριε, ἐλέησον.

Ὁ ἱερεύς· Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, ...


Ἀμήν.

Σταθερὸν Προκείμενον ὄρθρου.
Ψαλμὸς ρν΄ (150).


Ἦχος πλ. Δι



Στίχ. α΄. Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.



Στίχ. β΄. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ.



Εὐαγγέλιον.

Ὁ διάκονος· Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.
Κύριε, ἐλέησον. (γ΄)
Ὁ διάκονος· Σοφία· ὀρθοί· ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.
Ὁ ἱερεύς· Εἰρήνη πᾶσι.
Καὶ τῷ πνεύματί σου.
Ὁ ἱερεύς· Ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.
(ὁσιακόν, τῶν δέκα παρθένων, ζήτει τοῦτο τῷ Σαββάτῳ τῆς ιζ΄ ἑβδομάδος τοῦ Ματθαίου).
Ὁ διάκονος· Πρόσχωμεν.
Δόξα σοι, Κύριε, δόξα σοι.

Καὶ ἀναγινώσκει ὁ ἱερεὺς τὸ Εὐαγγέλιον τοῦ Ὄρθρου ἀπὸ τῆς Ὡραίας Πύλης.

Εὐαγγέλιον. Κατὰ Ματθαῖον (κε΄ 1-13).

Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις, αἵτινες λαβοῦσαι τὰς λαμπάδας αὐτῶν, ἐξῆλθον εἰς ἀπάντησιν τοῦ νυμφίου. Πέντε δὲ ἦσαν ἐξ αὐτῶν φρόνιμοι καὶ αἱ πέντε μωραί. Αἵτινες μωραί, λαβοῦσαι τὰς

λαμπάδας ἑαυτῶν οὐκ ἔλαβον μεθ᾽ ἑαυτῶν ἔλαιον· αἱ δὲ φρόνιμοι ἔλαβον ἔλαιον ἐν τοῖς ἀγγείοις αὐτῶν μετὰ τῶν λαμπάδων αὐτῶν. Χρονίζοντος δὲ τοῦ νυμφίου ἐνύσταξαν πᾶσαι καὶ ἐκάθευδον. Μέσης δὲ νυκτὸς κραυγὴ γέγονεν· ἰδοὺ ὁ νυμφίος ἔρχεται, ἐξέρχεσθε εἰς ἀπάντησιν αὐτοῦ. Τότε ἠγέρθησαν πᾶσαι αἱ παρθένοι ἐκεῖναι καὶ ἐκόσμησαν τὰς λαμπάδας αὐτῶν. Αἱ δὲ μωραὶ ταῖς φρονίμοις εἶπον· δότε ἡμῖν ἐκ τοῦ ἐλαίου ὑμῶν, ὅτι αἱ λαμπάδες ἡμῶν σβέννυνται. Ἀπεκρίθησαν δὲ αἱ φρόνιμοι λέγουσαι· μήποτε οὐκ ἀρκέσει ἡμῖν καὶ ὑμῖν· πορεύεσθε δὲ μᾶλλον πρὸς τοὺς πωλοῦντας καὶ ἀγοράσατε ἑαυταῖς. Ἀπερχομένων δὲ αὐτῶν ἀγοράσαι ἦλθεν ὁ νυμφίος καὶ αἱ ἕτοιμοι εἰσῆλθον μετ᾽ αὐτοῦ εἰς τοὺς γάμους, καὶ ἐκλείσθη ἡ θύρα. Ὕστερον δὲ ἔρχονται καὶ αἱ λοιπαὶ παρθένοι λέγουσαι· κύριε κύριε, ἄνοιξον ἡμῖν. Ὁ δὲ ἀποκριθεὶς εἶπεν· ἀμὴν λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς. Γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε τὴν ἡμέραν οὐδὲ τὴν ὥραν ἐν ᾗ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται.

Δόξα σοι, Κύριε, δόξα σοι.

Ὁ προεστὼς ἢ ὁ ἀναγνώστης
τὸν ν΄ ψαλμόν, χύμα.

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.


Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι


ἡγεμονικῷ στήριξόν με.
Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.
Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.
Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.
Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.
Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.
Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἰερουσαλήμ.
Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.
Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.


Ἦχος πλ. Δι



Ἰδιόμελον. Ἦχος β΄. Βαβύλα.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου





Σῶσον, ὁ Θεός, τὸν λαόν Σου... Κύριε, ἐλέησον (ιβ΄). Ἐλέει καὶ οἰκτιρμοῖς... Ἀμήν.

* * *

ΟΙ ΚΑΝΟΝΕΣ

Μετὰ τοῦτο ψάλλομεν τοὺς κανόνας
τῆς ἑορτῆς, καὶ τῆς Ἁγίας Αἰκατερίνης.
Κανὼν πρῶτος, οὗ ἡ Ἀκροστιχίς·
Σὺ τὴν χάριν, Δέσποινα, τῷ λόγῳ δίδου.
Ποίημα κυρίου Γεωργίου.
Ὠδὴ α΄. Ἦχος δ΄. Ὁ εἱρμός.

Ἀνοίξω τὸ στόμα μου, καὶ πληρωθήσεται Πνεύματος, καὶ λόγον ἐρεύξομαι, τῇ βασιλίδι Μητρί, καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων, καὶ ᾄσῳ γηθόμενος, ταύτης τὴν Εἴσοδον.

Τροπάρια.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Σοφίας πανάχραντε, σὲ θησαυρὸν ἐπιστάμενοι, καὶ χάριτος βρύουσαν, πηγὴν ἀέναον, τὰς τῆς γνώσεως, αἰτοῦμέν σε ῥανίδας, ἐπόμβρησον Δέσποινα, τοῦ ἀνυμνεῖν σε ἀεί.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὑπέρτερος Πάναγνε, τῶν οὐρανῶν χρηματίσασα, ναὸς καὶ παλάτιον, ἐν τῷ ναῷ τοῦ Θεοῦ, ἀνατίθεσαι, αὐτῷ ἑτοιμασθῆναι, εἰς θείαν κατοίκησιν, τῆς παρουσίας αὐτοῦ.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Τὸ φῶς ἀνατείλασα, ἡ Θεοτόκος τῆς χάριτος, πάντας κατελάμπρυνε, καὶ συνηγάγετο, τὴν ὑπέρλαμπρον, αὐτῆς κατακοσμῆσαι, πανήγυριν ᾄσμασι· δεῦτε συνδράμωμεν.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἡ πύλη ἡ ἔνδοξος, ἡ λογισμοῖς ἀδιόδευτος, τὰς πύλας διάρασα, τὰς τοῦ ναοῦ τοῦ Θεοῦ, νῦν προτρέπεται, ἡμᾶς συνεισελθόντας, τὰ θεῖα θαυμάσια, κατατρυφῆσαι αὐτῆς.

Κανὼν δεύτερος.
Ποίημα τοῦ κυρίου Βασιλείου.
Ὠδὴ α΄. Ἦχος α΄. Ὠδὴν ἐπινίκιον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Συνδράμωμεν σήμερον, τῇ Θεοτόκῳ, τιμῶντες ἐν ᾄσμασι, καὶ πανηγυρίσωμεν, πνευματικὴν ἑορτήν· ἐν τῷ ναῷ γὰρ τῷ Θεῷ, δῶρον προσφέρεται.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ὠδαῖς ἀνυμνήσωμεν, τῆς Θεοτόκου, τὴν ἔνδοξον πρόοδον· τῷ ναῷ γὰρ σήμερον, ὡς καὶ Ναὸς τοῦ Θεοῦ, προσφέρεται, προφητικῶς, δῶρον πολύτιμον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἡ Ἄννα ἡ ἄμεμπτος, ἠγαλλιᾶτο, ὡς δῶρον πολύτιμον, τῷ Θεῷ προσφέρουσα, ἐν τῷ ναῷ μητρικῶς· Ἰωακεὶμ δὲ σὺν αὐτῇ, πανηγυρίζει φαιδρῶς.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.
Δαυῒδ ὁ προπάτωρ σε, ὕμνησε πάλαι, Παρθένε Θεόνυμφε, θυγατέρα λέγων σε, τοῦ Βασιλέως Χριστοῦ· ὃν καὶ τεκοῦσα μητρικῶς, βρέφος ἐθήλασας.
Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.
Σαρκὶ τριετίζουσα, ἡ Θεοτόκος, Κυρίῳ προσάγεται· Ζαχαρίας ταύτην δέ, ὁ ἱερεὺς τοῦ Θεοῦ, δεξάμενος ἐν τῷ ναῷ, χαίρων ἀνέθετο.
Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.
Παρθένοι χορεύσατε, λαμπαδηφόροι, ἐξάρξατε σήμερον, καὶ μητέρες ᾄσατε, τῇ βασιλίδι Μητρί, προσερχομένῃ τῷ ναῷ, τοῦ Βασιλέως Χριστοῦ.
Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.
Τριὰς ὁμοούσιε, Πάτερ καὶ Λόγε, καὶ Πνεῦμα τὸ Ἅγιον, σὲ πιστῶς δοξάζομεν, ὡς Ποιητὴν τοῦ παντός, καὶ σοὶ βοῶμεν εὐσεβῶς, σῶσον ἡμᾶς ὁ Θεός.
Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.
Βαφῆς ἐξ αἱμάτων σου, τὴν ἁλουργίδα, φορέσας Πανάχραντε, προελθὼν ἀνέπλασεν, ὁ Βασιλεὺς καὶ Θεός, τὸ γένος ἅπαν τῶν βροτῶν, τῇ εὐσπλαγχνίᾳ αὐτοῦ.

Κανὼν τῆς Ἁγίας Αἰκατερίνης, οὗ ἡ ἀκροστιχίς·
Αἰκατερίναν τὴν παναοίδιμον ᾄσμασι μέλπω.
Ποίημα Θεοφάνους.
Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.

Στίχ. Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.
Αἰκατερίνης τῆς πανσόφου Μάρτυρος, ταῖς ἱκεσίαις Χριστέ, τὸ ζοφερὸν ὄμμα, τῆς ψυχῆς μου φώτισον, αἴγλην διδούς μοι Δέσποτα, τῆς σῆς φωτοχυσίας, τῶν ψυχοφθόρων πταισμάτων μου, πᾶσαν τὴν ἀχλὺν ἀφανίζουσαν.
Στίχ. Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.
Ἰθυνομένη τοῦ Δεσπότου πάνσοφε, θείοις προστάγμασι, καὶ τῷ αὐτοῦ πόθῳ, φλεγομένη ἔδραμες, πρὸς τοὺς ἀγῶνας σπεύδουσα, καὶ τυράννων τὰς φρένας, Αἰκατερίνα κατέπληξας, λόγῳ καὶ σοφίᾳ καὶ χάριτι.
Στίχ. Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.
Κυβερνωμένη τῇ παλάμῃ ἔνδοξε, τῇ κραταιᾷ τοῦ Χριστοῦ, εἰδωλικὴν ζάλην, Μάρτυς ὑπεξέφυγες, ἀβρόχως ὑπερπλέουσα, τοῦ Σταυροῦ τῷ ἱστίῳ, καὶ θείαις αὔραις τοῦ Πνεύματος, ᾇσμα τῷ Θεῷ ἀναμέλπουσα.

Δόξα.

Ἀγαλλομένη παρθενίας κάλλεσιν, Αἰκατερίνα σοφή, καὶ θεϊκὴν γνῶσιν, οὐρανόθεν ἔχουσα, τῆς ψευδωνύμου γνώσεως, εὐθαρσῶς

καὶ ἀνδρείως, τοὺς προεστῶτας κατῄσχυνας, τούτους κατὰ κράτος νικήσασα.

Καὶ νῦν. Θεοτοκίον.

Τὸ Θεοτόκον σε κηρύττειν Ἄχραντε, πάσης αἱρέσεως, ἀποτροπὴν φέρει· σάρκα γὰρ γενόμενον, ἀναλλοιώτως ἔτεκες, τὸν ἐπέκεινα πάσης, Θεοκυῆτορ τῆς κτίσεως, Λόγον τοῦ Θεοῦ τὸν ἀΐδιον.

Τῆς ἑορτῆς κανὼν πρῶτος. Ὠδὴ γ΄.

Ἦχος δ΄. Ὁ εἱρμός.

Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε, ὡς ζῶσα καὶ ἄφθονος πηγή, θίασον συγκροτήσαντας, πνευματικὸν στερέωσον, κἂν τῇ σεπτῇ Εἰσόδῳ σου, στεφάνων δόξης ἀξίωσον.

Τροπάρια.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Νυμφοστόλος σήμερον ἐδείχθη, τερπνὸς τῆς Παρθένου ὁ ναός, καὶ θάλαμος δεχόμενος, τὴν ἔμψυχον παστάδα Θεοῦ, τὴν καθαρὰν καὶ ἄμωμον, καὶ λαμπροτέραν πάσης κτίσεως.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Δαυῒδ προεξάρχων τῆς χορείας, σκιρτᾷ καὶ χορεύει σὺν ἡμῖν, καὶ Βασιλίδα κράζει σε, πεποικιλμένην ἄχραντε, παρισταμένην πάναγνε, ἐν τῷ ναῷ τῷ Βασιλεῖ καὶ Θεῷ.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἐξ ἧς ἡ παράβασις προῆλθεν, ἡ πάλαι τῷ γένει τῶν βροτῶν, ἐκ ταύτης ἡ ἀνόρθωσις, καὶ ἀφθαρσία ἤνθησεν, ἡ Θεοτόκος σήμερον, προσαγομένη ἐν τῷ οἴκῳ Θεοῦ.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Σκιρτῶσιν Ἀγγέλων στρατηγίαι, καὶ πάντων ἀνθρώπων ἡ πληθύς, καὶ πρὸ προσώπου Πάναγνε, προτρέχουσί σου σήμερον, λαμπαδηφόροι κράζουσαι, τὰ μεγαλεῖά σου ἐν οἴκῳ Θεοῦ.

Τῆς ἑορτῆς κανὼν δεύτερος. Ὠδὴ γ΄.

Ἦχος α΄. Στερεωθήτω ἡ καρδία μου.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Πανηγυρίσωμεν φιλέορτοι, καὶ συνευφρανθῶμεν τῷ πνεύματι, ἐν τῇ ἁγίᾳ Ἑορτῇ, εὐωχούμενοι σήμερον, θυγατρὸς τοῦ Βασιλέως, καὶ Μητρὸς τοῦ Θεοῦ ἡμῶν.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἰωακεὶμ εὐφραίνου σήμερον, καὶ ἀγάλλου Ἄννα τῷ πνεύματι, τὴν γεννηθεῖσαν ἐξ ὑμῶν, τῷ Κυρίῳ προσάγοντες, τριετίζουσαν ὡς δάμαλιν, σεμνὴν τὴν Πανάμωμον.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Τὸ τοῦ Θεοῦ κατοικητήριον, ἐν ναῷ ἁγίῳ προσφέρεται, ἡ Θεοτόκος Μαριάμ, τῇ σαρκὶ τριετίζουσα, καὶ αὐτῆς λαμπαδουχοῦσαι, αἱ παρθένοι προτρέχουσιν.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.
Ἡ τοῦ Θεοῦ ἀμνὰς ἡ ἄσπιλος, ἡ περιστερὰ ἡ ἀμόλυντος, ἡ θεοχώρητος σκηνή, τὸ τῆς δόξης ἁγίασμα, ἐν σκηνώματι ἁγίῳ κατοικεῖν ἠρετίσατο.
Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.
Ἡ τριετίζουσα τῷ σώματι, καὶ πολυετὴς ἐν τῷ πνεύματι, ἡ πλατυτέρα οὐρανῶν, καὶ τῶν ἄνω Δυνάμεων, ὑπερτέρα εὐφημείσθω, ἐν ᾠδαῖς ἡ Θεόνυμφος.
Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.
Τῆς Θεοτόκου ἑορτάζοντες, τὴν ἐν τοῖς ἀδύτοις προέλευσιν, λαμπαδουχοῦντες νοητῶς, ἐν φαιδρότητι σήμερον, καὶ ἡμεῖς σὺν ταῖς παρθένοις, τῷ ναῷ πλησιάσωμεν.
Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.
Οἱ ἱερεῖς Θεοῦ ἐνδύσασθε, τὴν δικαιοσύνην ἐν χάριτι, καὶ ὑπαντήσατε φαιδρῶς, τὰς εἰσόδους παρέχοντες, θυγατρὶ τοῦ Βασιλέως, καὶ Θεοῦ εἰς τὰ Ἅγια.
Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.
Φῶς ὁ Πατήρ, φῶς ὁ Υἱὸς αὐτοῦ, καὶ τὸ Πνεῦμα φῶς τὸ Παράκλητον· ὡς γὰρ Ἡλίου ἐξ ἑνός, ἡ Τριὰς ἀπαστράπτουσα, θεϊκῶς λαμπαδουχεῖ, καὶ συντηρεῖ τὰς ψυχὰς ἡμῶν.
Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.
Σὲ οἱ Προφῆται προεκήρυξαν, κιβωτὸν σεμνὴ ἁγιάσματος, θυμιατήριον χρυσοῦν, καὶ λυχνίαν καὶ τράπεζαν· καὶ ἡμεῖς ὡς θεοχώρητον, σκηνὴν ἀνυμνοῦμέν σε.

Κανὼν τῆς Ἁγίας. ὨΙδὴ γ΄.

Ἦχος πλ. δ΄. Ὁ στερεώσας κατ᾽ ἀρχάς.

Στίχ. Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.
Ἐθελουσίαις σου ῥοπαῖς, ἐχώρησας πρὸς τὸ πάθος, τὸ ἑκούσιον Χριστοῦ μιμουμένη· καὶ νικήσασα λαμπρῶς, τὸν σκότους κοσμοκράτορα, στεφανηφόρος ὤφθης, Αἰκατερίνα θεόληπτε.
Στίχ. Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.
Ῥωμαλεότητι φρενῶν, διήλεγξας τοὺς τυράννους, ἀθεΐας ἐν βυθῷ κυλισθέντας, ῥητορεύουσα σαφῶς, θεογνωσίας δόγματα, θείᾳ σοφίᾳ Μάρτυς, λαμπρυνομένη πανεύφημε.

Δόξα.

Ἰσοθεΐαν τοῖς ὠσί, τῆς Εὔας ὁ ψιθυρίσας, ὑπὸ Κόρης ἀπαλῆς νῦν πατεῖται· τῷ γὰρ ὅπλῳ τοῦ Σταυροῦ, περιφραχθεῖσα ᾔσχυνεν, Αἰκατερίνα Μάρτυς, ἄμετρα τοῦτον καυχώμενον.

Καὶ νῦν. Θεοτοκίον.

Νενεκρωμένον μου τὸν νοῦν, τῇ τῆς ζωῆς ἐνεργείᾳ, τῆς ἐκ σοῦ φανερωθείσης τῷ κόσμῳ, διανάστησον οὐλάς, καὶ τύπους ἐξαλείφουσα, τῆς ἁμαρτίας μόνη, Θεογεννῆτορ Πανάμωμε.

Συναπτὴ μικρά, μεθ' ἣν ἐκφώνησις·

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν...

* * *

ΜΕΣΩΔΙΑ ΚΑΘΙΣΜΑΤΑ

Κάθισμα. Τῆς Ἁγίας.

Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Τὴν σοφίαν τὴν ὄντως ἐξ Οὐρανοῦ, διὰ στόματος Μάρτυς τοῦ Μιχαήλ, λαβοῦσα πανεύφημε, καὶ ἐν ἄθλοις ἀήττητε, τῇ μὲν σοφίᾳ τῇ ἔξω, τοὺς ῥήτορας ἔπτηξας, τῇ δὲ σοφίᾳ τῇ θείᾳ, τὴν πλάνην ἐμείωσας· ὅθεν καθορῶν σου, τὸν ἀγῶνα ὁ Κτίστης, παρέστη ἐνισχύων σε, Δεῦρο λέγων ἀνάβηθι· οἱ θησαυροὶ γάρ σε μένουσι. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.

Κατεπλάγη Ἰωσήφ.

Ἡ ἀμίαντος ἀμνάς, καὶ ἀκηλίδωτος παστάς, ἐν τῷ οἴκῳ τοῦ Θεοῦ, ἡ Θεοτόκος Μαριάμ, μετ' εὐφροσύνης εἰσάγεται παραδόξως· ἣν Ἄγγελοι Θεοῦ, δορυφοροῦσι φαιδρῶς, καὶ πάντες οἱ πιστοί, μακαριοῦσιν ἀεί, καὶ εὐχαρίστως ψάλλουσι ταύτῃ, ἀκαταπαύστως μεγάλῃ φωνῇ· Ἡμῶν ἡ δόξα, καὶ σωτηρία, σὺ ὑπάρχεις Πανάχραντε.

Συναπτὴ μικρά, μεθ' ἣν ἐκφώνησις·

Σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης...

* * *

ΚΟΝΤΑΚΙΟΝ, ΟΙΚΟΣ, ΣΥΝΑΞΑΡΙΟΝ

Κοντάκιον τῆς Ἁγίας.

Ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Χορείαν σεπτήν, ἐνθέως φιλομάρτυρες, ἐγείρατε νῦν, γεραίροντες τὴν πάνσοφον, Αἰκατερίναν· αὕτη γάρ, ἐν σταδίῳ τὸν Χριστὸν ἐκήρυξε, καὶ τὸν ὄφιν ἐπάτησε, * ῥητόρων τὴν γνῶσιν καταπτύσασα.

Ὁ Οἶκος.

Τὴν ἐκ Θεοῦ σοφίαν λαβοῦσα παιδιόθεν ἡ Μάρτυς, καὶ τὴν ἔξω καλῶς σοφίαν πᾶσαν μεμάθηκε· γνοῦσα δὲ ἐκ ταύτης τὴν τῶν στοιχείων κίνησίν τε καὶ ποίησιν κατὰ λόγον, καὶ τὸν αὐτὰ ἐξ ἀρχῆς διὰ λόγου ποιήσαντα, αὐτῷ τὴν εὐχαριστίαν ἐν νυκτὶ καὶ ἡμέρᾳ προσέφερε· τὰ δὲ εἴδωλα καθεῖλε, καὶ τοὺς ταῦτα ἀφρόνως λατρεύοντας, * ῥητόρων τὴν γνῶσιν καταπτύσασα.

Συναξάριον.

Τῇ ΚΕ΄ τοῦ αὐτοῦ μηνός, μνήμη τῆς ἁγίας μεγαλομάρτυρος Αἰκατερίνης τῆς πανσόφου. (†305)

Στίχ. Αἰκατερίνα, καὶ σοφὴ καὶ παρθένος·
Ἐκ δὲ ξίφους, καὶ Μάρτυς· ὦ καλὰ τρία!
Εἰκάδι πέμπτῃ ἄορ κατέπεφνεν ῥήτορα Κούρην.

Αὕτη ἦν ἐκ πόλεως Ἀλεξανδρείας, θυγάτηρ Βασιλίσκου τινός, τοὔνομα Κώνστου, πάνυ οὖσα ὡραία καὶ τῷ κάλλει ἀμίμητος, ὑπερμεγέθης τῇ ἡλικίᾳ καὶ τῷ σώματι ἀστεία, ἐτῶν ὀκτωκαίδεκα. Αὕτη, πᾶσαν παιδείαν ἑλληνικὴν καὶ ῥωμαϊκὴν ἄκρως ἐγγυμνασθεῖσα, Ὁμήρου τε καὶ Βιργιλίου τοῦ Ῥωμαίων μεγίστου Ποιητοῦ, Ἀσκληπιοῦ τε καὶ Ἱπποκράτους καὶ Γαληνοῦ τῶν Ἰατρῶν, Ἀριστοτέλους τε καὶ Πλάτωνος, Φιλιστίωνός τε καὶ Εὐσεβίου τῶν Φιλοσόφων, Ἰαννῆ καὶ Ἰαμβρῆ, τῶν μεγάλων Μάγων, Διονύσου καὶ Σιβύλλης, καὶ ὅση Ῥητορικὴ ἐφευρέθη τῷ κόσμῳ, οὐ μὴν δέ, ἀλλὰ καὶ πᾶσαν λέξιν γλωσσῶν μεμαθηκυῖα, εἰς ἔκπληξιν ἔφερεν, οὐ μόνον τοὺς ὁρῶντας αὐτήν, ἀλλά γε καὶ τοὺς ἀκούοντας περὶ τῆς φήμης καὶ σοφίας καὶ παιδείας αὐτῆς. Διὰ δὲ τὴν εἰς Χριστὸν ὁμολογίαν, ὑπὸ τοῦ βασιλέως Μαξεντίου πολλῶν βασάνων πεῖραν λαβοῦσα, τὴν κεφαλὴν ἀποτέμνεται καὶ τὸν τοῦ μαρτυρίου στέφανον δέχεται, παρὰ τοῦ Ἀθλοθέτου Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν.

Τῇ αὐτῇ ἡμέρᾳ, οἱ ἅγιοι ἑκατὸν πεντήκοντα Ῥήτορες, οἱ διὰ τῆς ἁγίας Αἰκατερίνης πιστεύσαντες τῷ Χριστῷ, πυρὶ τελειοῦνται. (†305)

Στίχ. Αἱ πρὸς πλάνην Ῥήτορσιν ἀνδράσι στάσεις,
Εἰς πῦρ θανοῦσι, τῶν στεφάνων εὑρέσεις.

Τῇ αὐτῇ ἡμέρᾳ, ἡ ἁγία Βασίλισσα, ἡ γαμετὴ Μαξεντίου, ξίφει τελειοῦται. (†305)

Στίχ. Τιμηθεῖσα θνητοῦ σύζυγος βασιλέως,
Ἄφθαρτον εὗρε νυμφῶνα Βασιλέως.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ ἅγιος Πορφύριος, ὁ στρατηλάτης, σὺν τοῖς διακοσίοις στρατιώταις, ξίφει τελειοῦνται. (†305)

Στίχ. Σὺν τῷ στρατῷ σου, Πορφύριε, πρὸς ξίφος,
Πρόθυμος ἧκεις, οἷά περ Στρατηλάτης.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς ἀθλήσεως τοῦ ἁγίου μεγαλομάρτυρος Μερκουρίου. (†259)

Στίχ. Εἰ καὶ πατάσσῃ, Μερκούριε, τῷ ξίφει,
Καὶ νεκρὸς ἐχθρὸν σὺ πατάσσεις Κυρίου.

Τῇ αὐτῇ ἡμέρᾳ, οἱ ἅγιοι ἑξακόσιοι ἑβδομήκοντα μάρτυρες ξίφει τελειοῦνται.

Στίχ. Τέμνουσιν ἀνδρῶν εἰκάδας τριπλῶς δέκα,
Μεθ' ὧν καὶ ἄλλους ἄνδρας ἑπτάκις δέκα.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Πέτρου τοῦ ἡσυχαστοῦ. (~†429)

Στίχ. Ἡσύχως βίου τὸ πέλαγος ἀνύσας,
Πρὸς ἡσύχιον, Πέτρε, λιμένα φθάνεις.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Κλήμεντος ἀρχιεπισκόπου Ἀχριδῶν. (†916)

Στίχ. Κλήμης τὸ κλῆμα τῆς ἀληθοῦς ἀμπέλου,
Ἔσταξε νέκταρ θεογνωσίης κτίσει.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου ἱερομάρτυρος Μωυσέως, ζηλωτοῦ ἱεροκήρυκος καὶ μαχητοῦ ἐναντίον τῆς αἱρέσεως τοῦ Νοβατιανισμοῦ, μαρτηρήσαντος ἐν Ῥώμῃ ἐπὶ Δεκίου. (†251)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς ὁσίας παρθένου Ἰουκούνδης (Jucunda), πνευματικῆς θυγατρὸς τοῦ ἁγίου Προσπέρου ἐπισκόπου Ῥηγίου (Reggio) ἐν Αἰμιλίᾳ τῆς Ἰταλίας. (†466)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου Ἀλάνου (Alanus), κτίτορος καὶ ἡγουμένου τῆς μονῆς ἐν Λαβαούρῳ (Lavaur) εἰς Γασκονίαν Γαλλίας. (ζ΄ αἰ.)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς ὁσίας Ἴμμας (Imma), ἡγουμένης κοινοβίου ἐν Καρλβούργῳ (Karlburg) τῆς Γερμανίας. (~†752)

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου Βερνόλδου (Bernold), ἱερομονάχου τοῦ ἀββαείου Ὀκτωβέρης (Ottobeuren) ἐν Βαυαρίᾳ. (~†1050)

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

* * *


ΚΑΤΑΒΑΣΙΑΙ

Τῆς Χριστοῦ Γεννήσεως.


(Ψάλλονται ἀπὸ 21ης Νοεμβρίου
μέχρις 24ης Δεκεμβρίου μόναι αἱ πεζαί).


Ἦχος δ΄ Πα

ᾠδὴ α΄




ᾠδὴ γ΄





τι αρ ρε ευ ζως Υι ω και επ ε σχα των εκ Παρ θε
νϑ σαρ κω θε ντι α σπο ρως Χρι στω ω τω Θε
ω βο η σω μεν ο α νυ ψω σας το κε ρας
η μων α γι ος ει Κυ υ ρι ι ε

ᾠδὴ δ΄



Ρ αβ δος εκ της ρι ζης Ι εσ σαι και αν θος εξ αυ
της Χρι ζε εκ της Παρ θε νϑ α νε ε βλα ζη σας
εξ ο ρϑς ο αι νε τος κα τα σκι ου δα σε ος
ηλ θες σαρ κω θεις εξ α πει ραν δρϑ ο α υ λος
και Θε ος δο ξα τη δυ να μει σϑ Κυ υ ρι ι ε

ᾠδὴ ε΄



Θ ε ος ων ει ρη νης Πα τηρ οι κτιρ μων της
με γα λης βϑ λη ης σϑ τον αγ γε λον ει ρη νην πα
ρε ε χο με νον α πε ζει λας η μιν ο θεν
θε ο γνω σι ας προς φως ο δη γη η θεν τες εκ
νυ κτος ορ θρι ζον τες δο ξο λο γϑ μεν σε φι λα αν



ᾠδὴ ϛ΄





ᾠδὴ ζ΄



ᾠδὴ η΄

Αἰνοῦμεν, εὐλογοῦμεν, προσκυνοῦμεν τὸν Κύριον, ὑμνοῦντες καὶ ὑπερυψοῦντες αὐτὸν εἰς τοὺς αἰῶνας.





* * *


Ὁ διάκονος· Τὴν Θεοτόκον ἐν ὕμνοις μεγαλύνομεν.


Τῆς ἑορτῆς κανὼν πρῶτος.


Ὠδὴ θ΄.


Ἡ Τιμιωτέρα οὐ στιχολογεῖται.


Ἦχος  Βου ξ






βο α τω ον τως α νω τε ρα πα αν των υ παρ χεις
Παρ θε νε Α γνη



Α α γγε λοι την Ει σο δον της Πα να γνθ
ο ρων τες ε ε ξε πλητ τον το πως με τα δο ξης ει ση
ηλ θεν εις τα Α α γι α των Α γι ων



Ω ς υ περ λαμ προν Θε ο το κε Α γνη ψυ
χης το κα θα ρον ε χθ σα κα αλ λος χα ριν δε Θε
θ εμ πι πλα με νη θ ρα νο ο θεν φω τι ι α
ϊ δι ω κα ταυ γα ζεις α ει τὸς εν ευ φρο συ
νη βο ων τας ον τως α νω τε ρα πα αν των υ
παρ χεις Παρ θε νε Α γνη



Α α γγε λοι την Ει σο δον της Πα να γνθ
ο ρων τες ε ε ξε πλητ τον το πως πα ρα δο ξως ει ση
ηλ θεν εις τα Α α γι α των Α γι ων



Υ περ ι πτα ται Θε ο το κε Α γνη το
θαυ μα σθτην δυ ναμιν των λο ο γων σω μα γαρ εν σοι



κα τα νο ω ω υ περ λο ο γον ρο η ης α μαρ
τι ας α α νε πι δεκ τον ο θεν ευ χα ρι στως
βο ω σοι ον τως α νω τε ρα πα αν των υ παρ χεις
Παρ θε νε Α γνη



Α α γγε λοι και αν θρω ποι της Παρ θε νὸ
την Ει σο δο ον τι μη σω μεν ο τι εν δο ξη ει ση
ηλ θεν εις τα Α α γι α των Α γι ων



Π α ρα δο ξως προ δι ε τυ πὸ Α γνη ο
No μος σε σκη νην και θει α στα αμ νον ξε νην κι βω τον
και κα τα πε τα σμα και ρα αβ δον να ο ον α κα
τα λυ τον και πυ λην Θε ὸ ο θεν εκ δι δα
σκει σοι κρα ζειν ον τως α νω τε ρα πα αν των υ
παρ χεις Παρ θε νε Α γνη



Α α γγε λοι την Ει σο δον της Παρ θε νὸ
ο ρων τες κα α τε πλητ τον το πως θε α ρε στως ει ση
ηλ θεν εις τα Α α γι α των Α γι ων


Μ ε λω δων σοι προ ε κε λα δει Δαυ ιδ
λα λων σε θυ γα τε ρα Βα σι λε ε ως καλ λει α ρε
των εκ δε ξι ων πα ρι στα με ε νην ι δω ων τϑ
Θε ϑ πε ποι οι κιλ με νην σε ο θεν προ φη τευ
ων ε βο α ον τως α νω τε ρα πα αν των υ
παρ χεις Παρ θε νε Α γνη


Α α γγε λοι σκιρ τη σα τε συν Α γι οις
παρ θε νοι συ υγ χο ρευ σα τε η γαρ Θε ο παις ει
ση ηλ θεν εις τα Α α γι α των Α γι ων



Θ ε ο δο χον προ θε ω ρων Σο λο μων η
νι ξα το σε πυ λην Βα σι λε ε ως ζω σαν τε πη γην
ε σφρα γι σμε ε νην εξ η ης το α θο λω τον η
μιν προ η ηλ θεν υ δωρ τοις εν πι στει βο ω σιν
ον τως α νω τε ρα πα αν των υ παρ χεις Παρ θε
νε Α γνη



Α α γγε λοι και αν θρω ποι την Παρ θε νον





Κανὼν δεύτερος.


Τὴν φωτοφόρον Νεφέλην. Ἦχος Πα






ι νη πι α ζϗ σα προ σφε ρε ται Ι ε ρω
εν α γι ω ως Α γι α εις τα Α γι α οι κει
ειν



Μ ε γα λυ νον ψυ χη η μϗ ϗ την προ σε νε
χθει ει σαν εν τω να ω Κυ ρι ϗ ϗ και ευ λο
γη θει ει σαν χερ σι των Ι ε ρε ων


Τ ην νη πι α ζϗ σαν φυ σει και υ περ φυ σιν
Μη τε ρα α να δει χθει σαν τϗ Θε ϗ ευ φη μη
σω μεν υ υμνοις εν τω να ω τω νο μι κω Κυ ρι
ι ω γαρ ση με ρον προ σφε ρε ται εις ο σμην
ευ ω δι ας των Δι και ων ως καρ πος πνευ μα τι κο
ος



Μ ε γα λυ νον ψυ χη η μϗ ϗ την προ σε νε
χθει ει σαν εν τω να ω Κυ ρι ϗ ϗ και ευ λο
γη θει ει σαν χερ σι των Ι ε ρε ων



Σ υν τω Α γγε λω το χαι ρε τη Θε ο το κω


προ σφο ρως α να βο η σω μεν πι στοι χαι ρε πα
γκα λε Νυ υμ φη χαι ρε νε φε λη φω τει νη εξ η
ης η μιν ε λαμ ψεν ο Κυ ρι ος τοις εν σκο τει α
γνοι οι ας κα θη με νοις χαι ρε παν των η ελ πι ις
Μ ε γα λυ νον ψυ χη η μϑ ϑ την προ σε νε
χθει ει σαν εν τω να ω Κυ ρι ϑ ϑ και ευ λο
γη θει ει σαν χερ σι των Ι ε ρε ων
μνον ε πα ξι ον πα σα τη Θε ο το κω η
κτι σις συν τω Α γγε λω Γα βρι ηλ α να κρα ζει
βο ω ω σα Χαι ρε η Μη τηρ τϑ Θε ϑ δι η ης
ε λυ τρω θη μεν πα να μω με της αρ χαι ας κα
τα ρας γε γο νο τες α φθαρ σι ας κοι νω νοι οι
Μ ε γα λυ νον ψυ χη η μϑ ϑ την προ σε νε
χθει ει σαν εν τω να ω Κυ ρι ϑ ϑ και ευ λο
γη θει ει σαν χερ σι των Ι ε ρε ων
Η των Α γι ων Α γι α και Θε ο μη τωρ



Μα ρι α ταις ι κε σι αις σϑ Α γνη ε λευ θε
ρω σον η μας εκ των πα γι δων τϑ εχ θρϑ και πα α
σης αι ρε σε ως και θλι ψε ως τϑς πι στως προ σκυ
νϑν τας την ει κο να της α γι ας σϑμορ φη ης
Μ ε γα λυ νον ψυ χη η μϑ ϑ την προ σε νε
χθει ει σαν εν τω να ω Κυ ρι ϑ ϑ και ευ λο
γη θει ει σαν χερ σι των Ι ε ρε ων
Τ ων Χε ρϑ βιμ υ περ τε ρα των Σε ρα φιμ α
νω τε ρα και πλα τυ τε ρα ϑ ρα νων α νε δει
χθης Παρ θε ε νε ως τον α χω ρη τον παν τι εν μη
η τρα χω ρη σα σα Θε ον η μων και τε κϑ
σα α φρα στως ον δυ σω πει εκ τε νως υ περ η μω
ων


Δόξα.



Μ ε γα λυ νον ψυ χη η μϑ ϑ της Τρι συ πο
στα α τϑ και α δι αι ρε τϑ Θε ο τη τος το κρα


τος
Τ ην Τρι συ πο στα τον φυ σιν και α δι αι ρε
τον δο ξαν την εν Θε ο τη τι μι α υ μνό με
νην α πα αυ στως εν ου ρα νω και ε πι γης Τρι α
α δα α χω ρι ζον δο ξα σω μεν συν Υι ω τον Πα
τε ε ρα και το Πνευ μα προ σκυ νών τες ευ σε βω
ως

Καὶ νῦν.



Μ ε γα λυ νον ψυ χη η μό ν την Τι μι ω
τε ε ραν και εν δο ξο τε ραν των α νω ζρα τευ μα



των
Υ πο την σην ευσ πλα γχνι αν τός κα τα φευ γον
τας πι στει και προ σκυ νών τας ευ σε βως τον Υι ον
σό Παρ θε ε νε Θε ο γε ννη τορ ως Θε ον τό κο
ο σμό και Κυ ρι ον ι κε τευ ε εκ φθο ρας και κιν
δυ υ νων λυ τρω θη ναι και παν τοι ων πει ρα σμω




Καταβασία.


ᾠδὴ θ΄







Ἡ καταβασία τῆς θ΄ ᾠδῆς.











Συναπτὴ μικρά, μεθ' ἣν ἐκφώνησις·
Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις...

* * *


ΤΑ ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ
Τῆς Ἁγίας.

Ἐν πνεύματι τῷ ἱερῷ Ἦχος Γα ϱ







Τῆς Ἑορτῆς, ὅμοιον.



Εἰς τοὺς Αἴνους.

Ἦχος δ Πα





Ἱστῶμεν Στίχους Ϛ΄ καὶ ψάλλομεν

Στιχηρὰ προσόμοια. Τῆς ἑορτῆς γ΄.

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Στίχ. α΄. Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον· δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.

Λαμπαδηφόροι παρθένοι, τὴν Ἀειπάρθενον, φαιδρῶς ὁδοποιοῦσαι, προφητεύουσιν ὄντως, ἐν Πνεύματι τὸ μέλλον· Ναὸς γὰρ Θεοῦ, ἡ Θεοτόκος ὑπάρχουσα, πρὸς τὸν ναὸν μετὰ δόξης παρθενικῆς, νηπιόθεν ἐμβιβάζεται.

Στίχ. β΄. Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ· αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

Ἐπαγγελίας ἁγίας, καὶ ὁ καρπὸς εὐκλεής, ἡ Θεοτόκος ὄντως, ἀνεδείχθη τῷ κόσμῳ, ὡς πάντων ὑπερτέρα· ἣ εὐσεβῶς, προσαγομένη ἐν οἴκῳ Θεοῦ, τὴν προσευχὴν τῶν τεκόντων ἀποπληροῖ, συντηρουμένη Θείῳ Πνεύματι.

Στίχ. γ΄. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ· αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Ἐπουρανίῳ τραφεῖσα, Παρθένε ἄρτῳ πιστῶς, ἐν τῷ ναῷ Κυρίου, ἀπεκύησας κόσμῳ, ζωῆς ἄρτον τὸν Λόγον· οὗ ὡς Ναός, ἐκλεκτὸς καὶ πανάμωμος, προεμνηστεύθης τῷ Πνεύματι μυστικῶς, νυμφευθεῖσα τῷ Θεῷ καὶ Πατρί.

Καὶ τῆς ἁγίας προσόμοια γ΄.

Ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Στίχ. δ΄. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος· αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Μνήμην τὴν πανίερον, Αἰκατερίνα πανεύφημε, τῆς σεπτῆς σου ἀθλήσεως, τελοῦντες δοξάζομεν, ἐν φωναῖς ἀπαύστοις, τὸν δεδωρημένον, ὑπομονήν σοι καρτεράν, καὶ νικηφόρον σε ἀναδείξαντα, καὶ λόγον χορηγήσαντα, καταπτοοῦντα τοὺς ρήτορας, Ἰησοῦν τὸν φιλάνθρωπον, καὶ Σωτῆρα καὶ Κύριον.

Στίχ. ε΄. Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ· αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.


Μάρτυς ἐθελούσιος, Αἰκατερίνα πανένδοξε, καθωράθης τὸν τύραννον, εὐτόνως ἐλέγξασα, καὶ δεινὴν μανίαν, τῆς πολυθεΐας, θεογνωσίας φωτισμῷ, καταβαλοῦσα, καὶ θείᾳ χάριτι. Ἐντεῦθεν καὶ ὡς Μάρτυρα, καὶ ὡς παρθένον πανάμωμον, ὁ Χριστὸς ἐστεφάνωσεν, ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.


Στίχ. ϛ΄. Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις· αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.


Χάριν τὴν τοῦ Πνεύματος, Αἰκατερίνα πανένδοξε, ἐν ἀνοίξει τοῦ στόματος, ἐδέξω καθάρασα, σεαυτὴν προθύμως, διὰ πολιτείας καὶ λογισμῷ καρτερικῷ, τὴν τῶν τυράννων ὀφρῦν κατέπαυσας, ἐν κάλλει τῷ τοῦ σώματος, τὴν ψυχικὴν ὡραιότητα, θεοφρόνως οὖν τέθηκας, ἀθλητῶν ἐγκαλλώπισμα.

Δόξα. Τῆς Ἁγίας.

Ἦχος Δι










Καὶ νῦν. Τῆς Ἑορτῆς.
Λέοντος Μαΐστορος.

Ἦχος Δι









* * *

Καὶ εὐθὺς ψάλλεται εἰς τὸν αὐτὸν ἦχον


Η ΜΕΓΑΛΗ ΔΟΞΟΛΟΓΙΑ

Δοξολογία Ἰωάννου Καββάδα, ἦχος Δι






Κ υ ρι ε βα σι λευ ε πϑ ρα νι ε Θε ε ε Πα
τερ παν το κρα α τορ Κυ ρι ε Υι ε μο νο γε νες Ι
η σϑ Χρι στε και Α α γι ον Πνε ευ μα
Κ υ ρι ε ο Θε ος ο α μνος τϑ Θε ου ο Υι
ος τϑ Πα τρος ο αι ρων την α μαρ τι αν τϑ κο
ο ο σμϑ ε λε η σον η μας ο αι αι ρων
τας α μαρ τι ας τϑ κο ο σμϑ
Π ροσ δε ξαι την δε η σιν η μων ο κα θη με νος
εκ δε ξι ων του Πατρος και ε λε η σον η μας
Ο τι συ ει μο νος Α γι ος συ ει ει μο νος Κυ ρι
ος Ι η σϑς Χρι στος εις δο ξαν Θε ου Πα τρος
α μην
Κ αθ ε κα στην η με ραν ευ λο γη σω σε και αι
νε ε σω το ο νο μα α σϑ εις τον αι ω ω να
και εις τον αι ω να τϑ αι ω νος
Κ α τα ξι ω σον Κυ ρι ε εν τη η με ρα τα



αυ τη α να μαρ τη τϑς φυ λα χθη η ναι η μας



Ε υ λο γη τος ει Κυ ρι ε ο Θε ος των Πα


τε ρων η μων και αι νε τον και δε δο ξα σμε ε νον



το ο νο μα α σϑ εις τϑς αι ω ω νας α μην



Γ ε νοι το Κυ ρι ε το ε λε ος σϑ εφ η μας κα



θα περ ηλ πι σα μεν ε πι σε


Ε υ λο γη τος ει ει Κυ ρι ε δι δα ξο ον με τα



δι και ω μα τα α σϑ



Κ υ ρι ε κα τα φυ γη ε γε νη θης η μιν εν γε νε


α και γε νε α ε γω ει πα Κυ ρι ε ε λε η



σο ον με ι α σαι την ψυ χη ην μϑ ο τι η μαρ το ον



σοι


Κ υ ρι ε προς σε κα τε φυ γον δι δα ξον με τϑ



ποι ειν το θε λη μα α σϑ ο τι συ ει ο Θε ο ος



μϑ


Ο τι πα ρα σοι πη γη ζω ης εν τω φω τι



Εἰς τὰ Εἰσόδια τῆς Θεοτόκου, ἀπολυτίκιον, ἦχος






* * * * *

ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ


Τὰ ἑξαπλᾶ.

῎Ηχος πλ. Δ Νη ϱ



Τὰ Ἁγιορείτικα (καταγραφὴ Μελετίου Συκιώτου).

῎Ηχος πλ. Δ Νη ϱ













Ἀθανασίου Καραμάνη.

Ἦχος















Τὰ Ἀντίφωνα τῆς ἑορτῆς.

Ἀντίφωνον Α΄. Ἦχος β΄. (Ἐκλογή).


Ἦχος

Στίχ. α΄. Μέγας Κύριος καὶ αἰνετὸς σφόδρα ἐν πόλει τοῦ Θεοῦ ἡμῶν, ἐν ὄρει ἁγίῳ αὐτοῦ. (μζ΄ 2)






Στίχ. β΄. Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ πόλις τοῦ Θεοῦ. (πστ΄ 3)






Στίχ. γ΄. Ὁ Θεὸς ἐν ταῖς βάρεσιν αὐτῆς γινώσκεται, ὅταν ἀντιλαμβάνηται αὐτῆς. (μζ΄ 4)







Στίχ. δ΄. Καθάπερ ἠκούσαμεν, οὕτω καὶ εἴδομεν ἐν πόλει Κυρίου τῶν δυνάμεων, ἐν πόλει τοῦ Θεοῦ ἡμῶν. (μζ΄ 9)





Δόξα. Καὶ νῦν.






Ὁ διάκονος τὴν μικρὰν συναπτὴν καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν·


Ὅτι σὸν τὸ κράτος...

Ἀντίφωνον Β΄. Ἦχος β΄. (Ἐκλογή).


Στίχ. α΄. Τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ· ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ Ὕψιστος. (με΄ 5)









Στίχ. β΄. Ἐξομολόγησις καὶ ὡραιότης ἐνώπιον αὐτοῦ· ἁγιωσύνη καὶ μεγαλοπρέπεια ἐν τῷ ἁγιάσματι αὐτοῦ. (Ϟε΄ 6)










Στίχ. γ΄. Αὕτη ἡ πύλη Κυρίου, δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ. (ριζ΄ 20)









Στίχ. δ΄. Ἅγιος ὁ ναός σου, θαυμαστὸς ἐν δικαιοσύνῃ. (ξδ΄ 5)










Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.










Ὁ διάκονος τὴν μικρὰν συναπτὴν καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν·


Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος...

Ἀντίφωνον Γ΄. Ἦχος δ΄. Ψαλμός μδ΄ (44).


Ἦχος Δι


Στίχ. α΄. Πᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν, ἐν κροσσωτοῖς χρυσοῖς περιβεβλημένη, πεποικιλμένη. (μδ΄ 14)






Στίχ. β΄. Ἀπενεχθήσονται τῷ βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς, αἱ πλησίον αὐτῆς ἀπενεχθήσονταί σοι. (μδ΄ 15)






Στίχ. γ΄. Ἀπενεχθήσονται ἐν εὐφροσύνῃ καὶ ἀγαλλιάσει, ἀχθήσονται εἰς ναὸν βασιλέως. (μδ΄ 16)








* * *

ΜΙΚΡΑ ΕΙΣΟΔΟΣ


Εἰσοδικόν.

(Ἐὰν εἰσοδεύουν πολλοὶ ἱερεῖς, ψάλλουν αὐτοὶ τὸ εἰσοδικόν).


Ἦχος Δι



ὁ β΄ χορός:




Εἰς τὰ Εἰσόδια τῆς Θεοτόκου, ἀπολυτίκιον, ἦχος Δι



Ἀπολυτίκιον τῆς ἁγίας Αἰκατερίνης.

Τὸν συνάναρχον Λόγον. Ἦχος πλ. δ Κε φ




Ἀπολυτίκιον τοῦ ἁγίου τοῦ ναοῦ.

Δόξα.

Κοντάκιον τῆς Ἁγίας.

Τὰ ἄνω ζητῶν. Ἦχος πλ. δ Δι




Κοντάκιον τῶν Εἰσοδίων τῆς Θεοτόκου.

(ἀπὸ ἡ΄ ἕως κε΄ πλὴν τῆς κ΄ Νοεμβρίου).

(ψάλλεται ὑπὸ τῶν ἱερέων, ἐὰν τελεῖται συλλείτουργον)


Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ. Ἦχος δ΄ Δι-




* * *

ΤΡΙΣΑΓΙΟΣ ΥΜΝΟΣ

Ἦχος πλ. Δι-




Τό τρίτον.


ο ο ο ο ος α γι ος ι σχυ ρο ο ο ο ος
α α γι ι ος α θα α να τος ε λε ε ε η
σο ο ον η μα ας
Δ ο ξα Πα τρι και Υι ω και α γι ω Πνε ευ μα
τι
Κ αι νυν και α ει και εις τους αι ω νας των αι ω
νων α μην
Α α γι ι ος α θα α να τος ε λε ε ε
η σο ο ον η μα ας
Δ υ να α α μις Α γι ος ο Θε ο ο ο
ο ο ο ο ο ο ο ο ο ο ο ος α γι ος
ι σχυ ρο ο ο ο ος α α α α α α
α α α α γι ι ι ος α θα α να α α το ο
ο ος ε λε ε η η σον η η μα ας


Τρισάγιον. Σύντομον.


Ἦχος Δι



Δύναμις τοῦ βήματος.


Ἦχος Δι






Ἕτερον ὑπό Γεωργίου Κρητός († 1816)

Ἦχος Δι





Ἀπόστολον καὶ Εὐαγγέλιον τῆς ἁγίας.
Προκείμενον τῆς Κυριακῆς τῶν Ἁγίων Πάντων
καὶ Ἀλληλούϊα εἰς μνήμας Μαρτύρων.


Ὁ ἀναγνώστης· Ψαλμὸς τῷ Δαβίδ. Προκείμενον ἦχος πλ δ΄.
Ὁ διάκονος· Πρόσχωμεν.

Ὁ ἀναγνώστης τὸ προκείμενον καὶ τὸν στίχον αὐτοῦ.
Προκείμενον. (Ψαλμὸς ξζ΄).
Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ. (ξζ΄ 36)

Στίχ. α΄. Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν, Κύριον ἐκ πηγῶν Ἰσραήλ. (ξζ΄ 27)

Ἢ ὁ ψάλτης.

Ἦχος πλ. Νη



Ὁ διάκονος· Σοφία.

Ὁ ἀναγνώστης·

Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.


Ὁ διάκονος· Πρόσχωμεν.

(γ΄ 23-29, δ΄ 1-5).

Ἀδελφοί, πρὸ τοῦ ἐλθεῖν τὴν πίστιν ὑπὸ νόμον ἐφρουρούμεθα συγκεκλεισμένοι εἰς τὴν μέλλουσαν πίστιν ἀποκαλυφθῆναι. Ὥστε ὁ νόμος παιδαγωγὸς ἡμῶν γέγονεν εἰς Χριστόν, ἵνα ἐκ πίστεως δικαιωθῶμεν· ἐλθούσης δὲ τῆς πίστεως οὐκέτι ὑπὸ παιδαγωγόν ἐσμεν. Πάντες γὰρ υἱοὶ Θεοῦ ἐστε διὰ τῆς πίστεως ἐν Χριστῷ Ἰησοῦ· ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. Οὐκ ἔνι Ἰουδαῖος οὐδὲ Ἕλλην, οὐκ ἔνι δοῦλος οὐδὲ ἐλεύθερος, οὐκ ἔνι ἄρσεν καὶ θῆλυ· πάντες γὰρ ὑμεῖς εἷς ἐστε ἐν Χριστῷ Ἰησοῦ. Εἰ δὲ ὑμεῖς Χριστοῦ, ἄρα τοῦ Ἀβραὰμ σπέρμα ἐστὲ καὶ κατ᾽ ἐπαγγελίαν κληρονόμοι. Λέγω δέ, ἐφ᾽ ὅσον χρόνον ὁ κληρονόμος νήπιός ἐστιν, οὐδὲν διαφέρει δούλου, κύριος πάντων ὤν, ἀλλὰ ὑπὸ ἐπιτρόπους ἐστὶ καὶ οἰκονόμους ἄχρι τῆς προθεσμίας τοῦ πατρός. Οὕτω καὶ ἡμεῖς, ὅτε ἦμεν νήπιοι, ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου ἦμεν δεδουλωμένοι· ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ, γενόμενον ἐκ γυναικός, γενόμενον ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν.


Ἀλληλούϊα (γ΄). Ἦχος α΄. (Ψαλμὸς λθ΄).


Ἦχος




Στίχος α΄. Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι


καὶ εἰσήκουσε







Στίχος β΄. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθυνε









ΕΥΑΓΓΕΛΙΟΝ


Ἐκ τοῦ κατὰ Μᾶρκον (ε΄ 24-34).


(Ζήτει τῇ Δευτέρᾳ τῆς ιε΄ ἑβδομάδος τοῦ Ματθαίου).

Τῷ καιρῷ ἐκείνῳ, ἠκολούθει τῷ Ἰησοῦ ὄχλος πολύς, καὶ συνέθλιβον αὐτόν. Καὶ γυνὴ οὖσα ἐν ῥύσει αἵματος ἔτη δώδεκα, καὶ πολλὰ παθοῦσα ὑπὸ πολλῶν ἰατρῶν καὶ δαπανήσασα τὰ παρ᾽ αὐτῆς πάντα, καὶ μηδὲν ὠφεληθεῖσα ἀλλὰ μᾶλλον εἰς τὸ χεῖρον ἐλθοῦσα, ἀκούσασα περὶ τοῦ Ἰησοῦ, ἐλθοῦσα ἐν τῷ ὄχλῳ ὄπισθεν ἥψατο τοῦ ἱματίου αὐτοῦ· ἔλεγε γὰρ ἐν ἑαυτῇ ὅτι ἐὰν ἅψωμαι κἂν τῶν ἱματίων αὐτοῦ, σωθήσομαι. Καὶ εὐθέως ἐξηράνθη ἡ πηγὴ τοῦ αἵματος αὐτῆς, καὶ ἔγνω τῷ σώματι ὅτι ἴαται ἀπὸ τῆς μάστιγος. Καὶ εὐθέως ὁ Ἰησοῦς ἐπιγνοὺς ἐν ἑαυτῷ τὴν ἐξ αὐτοῦ δύναμιν ἐξελθοῦσαν, ἐπιστραφεὶς ἐν τῷ ὄχλῳ ἔλεγε· τίς μου ἥψατο τῶν ἱματίων; καὶ ἔλεγον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· βλέπεις τὸν ὄχλον συνθλίβοντά σε, καὶ λέγεις τίς μου ἥψατο; καὶ περιεβλέπετο ἰδεῖν τὴν τοῦτο ποιήσασαν. Ἡ δὲ γυνὴ φοβηθεῖσα καὶ τρέμουσα, εἰδυῖα ὃ γέγονεν ἐπ᾽ αὐτῇ, ἦλθε καὶ προσέπεσεν αὐτῷ καὶ εἶπεν αὐτῷ πᾶσαν τὴν ἀλήθειαν. Ὁ δὲ εἶπεν αὐτῇ· θύγατερ, ἡ πίστις σου σέσωκέ σε· ὕπαγε εἰς εἰρήνην, καὶ ἴσθι ὑγιὴς ἀπὸ τῆς μάστιγός σου.


Ἦχος ἰἰ Δι









Χερουβικόν, Ἰωάννου Ἀρβανίτη, ἦχος Δι





προ σα α α δο ο ο υ μνον προ ο σα α α
δο ο ον τε ες πα α α α α α σα α α α
αν την βι ι ω τι ι κη η η η η η η ην α
πο ο θω ω ω ω ω ω με ε ε ε ε θα α με ε
ρι ι ι μνα α α α α α α α α α αν
Ω ς τον βα σι ι λε ε ε ε ε ε ε
ε ε ε ε ε ε ε βα α σι ι λε ε ε
ε ε ε ε α
Τ ω ων ο ο ο ο ο λω ω ω ω ων υ
πο ο δε ξο ο ο με νοι οι Ται αις α αγ γε
λι ι και αις α ο ρα α α τω ως δο ο ρυ φο
ο ρϫ ϫ ϫ με νο ον τα α ξε σι ι ι ι ι
ι ι ι ι ιν Α λλη λϫ ϫ ϫ ϊ ϊ ϊ ϊ
α α α α α

Τὰ Λειτουργικὰ,
ὡς διασώθηκαν ἐν τῇ Μεγάλῃ τοῦ Χριστοῦ Ἐκκλησίᾳ,
κατὰ παράδοσιν ἀρχαιοτάτην. Καταγραφὴ Κ. Ψάχου.

Ἦχος Δι







Τὸ Σύμβολον τῆς πίστεως.


Πιστεύω εἰς ἕνα Θεόν, Πατέρα, παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων. Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν Υἱὸν τοῦ Θεοῦ τόν μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων· φῶς ἐκ φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρί, δι' οὗ τὰ πάντα ἐγένετο. Τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς Παρθένου καὶ ἐνανθρωπήσαντα. Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου καὶ παθόντα καὶ ταφέντα. Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφάς. Καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός. Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος. Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ Κύριον, τὸ ζωοποιόν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν. Εἰς μίαν, ἁγίαν, καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν. Ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν. Προσδοκῶ ἀνάστασιν νεκρῶν καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.

* * *











Εἰς τό· Ἐξαιρέτως τῆς Παναγίας...

Ὁ εἱρμὸς τῆς θ΄ ᾠδῆς τοῦ α΄ Κανόνος.

Ἦχος  Βου ξ







Τῇ Τετάρτη. Κοινωνικόν. Πέτρου Λαμπαδαρίου


Ἦχος Δι





η η η η ρι ι ι πο τη ρι ι ο ο ο ο ο ο
ον σω τη ρι ι ι ι ι ι ι ι ι ι ι
ι ι ι ι ι ι ι ηι ι ι ι ι ι ι ι
ι ι χι ι ι ι ι ι ι ι ι ι ι ηι ι ι ι ι
ι ι ου ου ου λη η η η η η η ηη η η η
η η η η η η η η η η χη η η η η
η η η η η η η η η η η η η η η η
η η σω τη ρι ι ου λη η η η η η ψο ο ο ο
ο ο ο μαι αι αι ηαι αι αι αι αι και το ο ο ο
ο ο ο ο ο ο ο ο ο ο ο χο ο ο
ο ο ο ο και το ο ο ο ο ο νο ο μα α
α α Κυ ρι ι ι ι χι ι ι ι ι ι ι
ι ι ηι ι ι ι ι ι ι ι ι Κυ ρι ι ι
ου ου ου ου ου ου ου ου ε πι κα λε ε ε ε ε
ε ε ε ε ε ε ε ε ε ε ε ε ε ε ε ε
ε ε ε ε ε ε ε ε ε ε ε ε ε σο ο ο




Ἦχος Δι




Ἦχος Δι




ξαν σϑ ο τι η ξι ω σας η μας των α
γι ων σϑ με τασ χειν μυ στη ρι ι ι ι ων τη ρη σον
η μας εν τω σω α γι α σμω ω ο λην την η
με ε ραν με λε των τας την δι και ο συ υ νην σϑ
Α λλη λϑ ϊ α Α λλη λϑ ϊ α Α λλη
λϑ ϊ α α α

Ἦχος Δι


Ε
ι η το ο νο μα Κυ ρι ϑ ευ λο γη με
νον α πο τϑ νυν και ε ως τϑ αι ω ω νος (δὶς)
Το ο νο μα Κυ ρι ϑ ει η ευ λο γη
με ε ε ε ε νο ο ο ον α πο τϑ νυν και ε ως
τϑ αι ω ω νο ο ος